**Τὸ Συναξάριον**

**Τῇ Λ΄΄ τοῦ μηνὸς Ἰουνίου μνήμην ἐπιτελοῦμεν τῆς ἁγίας Μαρίας, μητρὸς τοῦ ἁγίου Εὐαγγελιστοῦ Μάρκου καὶ συγγενοῦς τοῦ ἁγίου ἀποστόλου Βαρνάβα.**

*Στίχοι*

Ἀνώγεων ἔστρωσας τὴν σὴν καρδίαν

Θεῷ μολοῦντι εὐτρεπῶς αὐλισθῆναι.

Τριακοστῇ ἐν αἰθέρι νόες ἄειραν Μαρίαν.

*Ὑπόμνημα*

*Αὕτη ἐλέγετο εἶναι θεία Βαρνάβα τοῦ ἀποστόλου, οὗ οἱ πρόγονοι, διὰ περίστασιν πολέμων καταλαβόντες τὴν Κυπρίων χώραν, φιλοφρόνως ᾤκουν. Ἦσαν δὲ εὐλαβεῖς κατὰ τὸν Νόμον καὶ πλούσιοι σφόδρα. Ὅθεν καὶ ἐν Ἱεροσολύμοις εἶχον οὐσίαν ἱκανὴν καὶ ἀγρὸν πλησίον τῆς πόλεως περικαλλέστατον, οὐ μόνον παντοίοις καρπίμοις φυτοῖς ὡραϊζόμενον, ἀλλὰ καὶ μεγέθει κτισμάτων περιφανέστατον. Ἐξ ὅτου γὰρ ἤκουσαν Ἠσαΐου τοῦ προφήτου λέγοντος· "μακάριος ὁ ἔχων σπέρμα ἐν Σιὼν καὶ οἰκείους ἐν Ἱερουσαλήμ", σαρκικῶς τὴν προφητείαν ἐκδεχόμενοι Ἑβραίων παῖδες, ἔσπευδον ἕκαστος τῶν εὐπορούντων ἔχειν τὸ κτῆμα ἐν Ἱερουσαλήμ.*

*Κατ᾽ ἐκεῖνον τὸν καιρὸν συνέβη τὸν Κύριον παραγενέσθαι εἰς Ἱεροσόλυμα καὶ ἰάσασθαι τὸν παράλυτον ἐν τῇ Προβατικῇ καὶ ἕτερα πολλὰ σημεῖα καὶ τέρατα ἐργάσασθαι ἐν τῷ Ἱερῷ. Ταῦτα θεασάμενος Βαρνάβας(ὃν οἱ γονεῖς ἀνήγαγον εἰς Ἱεροσόλυμα καὶ παρέδωκαν αὐτὸν μαθεῖν τὸν Νόμον ἀκριβῶς καὶ τοὺς Προφήτας παρὰ τοὺς πόδας Γαμαλιήλ, ἔχοντα δὲ τὸν Παῦλον συμφοιτητήν, Σαῦλον τέως καλούμενον), ἐξεπλήττετο, καὶ εὐθέως προσελθὼν ἔπεσε παρὰ τοὺς πόδας τοῦ Κυρίου καὶ ἐδέετο εὐλογηθῆναι παρ᾽ αὐτοῦ. Ὁ δὲ τὰς καρδίας ἐμβατεύων Χριστός, ἀποδεξάμενος αὐτοῦ τὴν πίστιν, εὐμενῶς αὐτὸν ὑπεδέξατο καὶ τῆς θείας αὐτοῦ συντυχίας μετέδωκεν. Ὁ δὲ πλέον ἐξεκαίετο εἰς τὴν τοῦ Κυρίου ἀγάπην.*

*Καταλαβὼν δὲ τάχος τὴν οἰκίαν Μαρίας, τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, ἥτις ἦν αὐτοῦ θεία -διὸ καὶ Μᾶρκον τὸν ἀνεψιὸν Βαρνάβα ἐκάλουν αὐτόν-, εἶπε πρὸς αὐτήν: "Δεῦρο, λέγων, ὦ γύναι, ἴδε ἅπερ ἐπεθύμουν ἰδεῖν οἱ πατέρες ἡμῶν· ἰδοὺ γὰρ Ἰησοῦς, ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας ἐστὶν ἐν τῷ ἱερῷ, μεγαλοπρεπῶς θαυματουργῶν καὶ ὡς τοῖς πολλοῖς δοκεῖ, αὐτός ἐστι Μεσσίας, ὁ μέλλων ἔρχεσθαι". Ἀκούσασα ταῦτα ἡ θαυμασία γυνὴ καὶ καταλιποῦσα τὰ ἐν χερσὶ κατέλαβε τὸν ναὸν τοῦ Θεοῦ, καὶ ἰδοῦσα τὸν Κύριον καὶ Δεσπότην τοῦ ναοῦ, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ δεομένη καὶ λέγουσα: "Κύριε, εἰ εὗρον χάριν ἐναντίον σου, δεῦρο εἰς τὸν οἶκον τῆς δούλης σου καὶ εὐλόγησον τῇ εἰσόδῳ σου τὰ οἰκετικά μου". Ὁ δὲ Κύριος ἐπένευσε τῇ παρακλήσει· ὃν*

*παραγενόμενον ὑπεδέξατο χαίρουσα εἰς τὸ ὑπερῶον αὐτῆς. Ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας, ἡνίκα ἤρχετο ὁ Κύριος εἰς Ἱεροσόλυμα, ἐκεῖ ἀνεπαύετο μετὰ τῶν μαθητῶν αὐτοῦ.*

*Ἐκεῖ τοὺς μαθητὰς πέμπει ἑτοιμάσοντας τὸ Πάσχα· '"ὑπάγετε, λέγων, εἰς τὴν ἀπέναντι πόλιν καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, καὶ αὐτὸς δείξει ὑμῖν ἀνώγεων μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν". Καὶ ἐλθὼν ἐποίησε μετὰ τῶν μαθητῶν αὐτοῦ τὸν θεῖον Νιπτῆρα καὶ τὸν Δεῖπνον τὸν μυστικὸν καὶ αὖθις ἀναπεσὼν τὸ ἡμέτερον παρεδίδου Πάσχα, μυσταγωγῶν τοὺς μαθητὰς διὰ τῆς μεταλήψεως τῶν ἀπορρήτων Μυστηρίων. Λόγος γὰρ ἦλθεν εἰς ἡμᾶς ἀπὸ γερόντων, ὅτι ὁ τὸ κεράμιον βαστάζων τοῦ ὕδατος, ᾧ κατακολουθῆσαι προσέταξεν ὁ Κύριος τοῖς μαθηταῖς, Μᾶρκος ἦν ὁ σοφός, ὁ υἱὸς ταύτης τῆς μακαρίας Μαρίας. Ὁ δὲ Κύριος "πρὸς τὸν δεῖνα" εἶπεν οἰκονομικῶς, ὡς φασιν οἱ Πατέρες, ἑρμηνεύοντες τοῦτο τὸ χωρίον, διδάσκων ἡμᾶς διὰ τοῦ αἰνίγματος, ὅτι παντὶ τῷ εὐτρεπίζοντι ἑαυτόν, παρ᾽ αὐτῷ ὁ Κύριος αὐλίζεται.*

*Ἐν αὐτῷ τοίνυν τῷ Ὑπερώῳ ἐφάνη ὁ Κύριος τοῖς περὶ τὸν Θωμᾶν, ἐγερθεὶς ἐκ νεκρῶν· ἐκεῖ μετὰ τὴν Ἀνάληψιν ἀνῆλθον οἱ Μαθηταί, ἐλθόντες ἀπὸ τοῦ ὄρους τῶν Ἐλαιῶν μετὰ τῶν λοιπῶν ἀδελφῶν, ὄντων τὸν ἀριθμὸν ἑκατὸν εἴκοσιν, ἐν οἷς ἦν Βαρνάβας καὶ Μᾶρκος. Ἐκεῖ ἐπεδήμησε τὸ Πνεῦμα τὸ Ἅγιον, ἐν εἴδει πυρίνων γλωσσῶν ἐφ᾽ ἕνα ἕκαστον τῶν μαθητῶν, οὗ ἦσαν καταμένοντες σὺν ταῖς Μυροφόροις γυναιξὶ καὶ τῇ τοῦ Λόγου Μητρί, ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς. Ἐκεῖ ἵδρυται νῦν ἡ μεγάλη καὶ ἁγιωτάτη Σιών, ἡ Μήτηρ πασῶν τῶν Ἐκκλησιῶν. Ἔνθεν ὁ οἶκος Μαρίας, ὡς ἡ περὶ αὐτοῦ θεία Γραφὴ ἐξιστορεῖ, μυρίων μὲν καὶ ἄλλων αὐτουργὸς θεοσημειῶν ἀναδείκνυται, ἧς ταῖς ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**